*Ὠδὴ ζ΄. Ὁ Εἱρμὸς*

»Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες παῖδες ἐν »Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν »φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· »Ὁ τῶν Πατέρων ἡμῶν Θεός, εὐλογητὸς εἶ.

*Τροπάρια*

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατώκησας, τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Δόξα Πατρί...*

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Καὶ νῦν...*

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστείας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.